*πάλαι προκόψασ', οὐ πόνου πολλοῦ με δεῖ.*
*ἐλθόντα γάρ νιν Πιτθέως ποτ' ἐκ δόμων*
*σεμνῶν ἐς ὄψιν καὶ τέλη μυστηρίων*
*Πανδίονος γῆν πατρὸς εὐγενὴς δάμαρ*
*ἰδοῦσα Φαίδρα καρδίαν κατέσχετο*
*ἔρωτι δεινῷ τοῖς ἐμοῖς βουλεύμασιν.*
*καὶ πρὶν μὲν ἐλθεῖν τήνδε γῆν Τροιζηνίαν,*
*πέτραν παρ' αὐτὴν Παλλάδος κατόψιον*
*γῆς τῆσδε ναὸν Κύπριδος ἐγκαθίσατο,*
*[ἐρῶσ' ἔρωτ' ἔκδημον· Ἱππολύτῳ δ' ἔπι*
*τὸ λοιπὸν ὠνόμαζεν ἱδρῦσθαι θεάν].*
*ἐπεὶ δὲ Θησεὺς Κεκροπίαν λείπει χθόνα,*
*μίασμα φεύγων αἵματος Παλλαντιδῶν,*
*καὶ τήνδε σὺν δάμαρτι ναυστολεῖ χθόνα,*
*ἐνιαυσίαν ἔκδημον αἰνέσας φυγήν,*
*ἐνταῦθα δὴ στένουσα κἀκπεπληγμένη*
*κέντροις ἔρωτος ἡ τάλαιν' ἀπόλλυται*
*σιγῇ· ξύνοιδε δ' οὔτις οἰκετῶν νόσον.*
*ἀλλ' οὔτι ταύτῃ τόνδ' ἔρωτα χρὴ πεσεῖν·*
*δείξω δὲ Θησέως παιδί, κἀκφανήσεται.*
*καὶ τὸν μὲν ἡμῖν πολέμιον νεανίαν*

---

23 *προκόψασ A α* super *σ* scr. *A*², *προκόψασαν* in marg. *l* | *με* superscr. *οι a* 24 *πιτθέος a* 25 *σεμνῶς C* 26 *γῆς P* 27 *κατέσχετο*] *κατεσχέθη* superscr. *L*, *κατείχετο* Monk 28 *βουλεύμασι B* 29—33 delet post Hartungium O. Jahn 30 *πέτραν LP*, *πέτρην A EaBC* 31 *ἐγκαθίσατο AaBP*, *ἐγκαθείσατο ECL*, *ἐγκαθίστατο c*, *καθίσατο* Nauck (*καθείσατο* Musgrave) 32 sq. delevit Blomfield 32 *ἐρῶσα ἔρωτα AB ἐρῶσ' A*² | *ἔκδημον AElP* (cfr. schol. *A μὴ παρόντος*), *ἔκδηλον* mut. in *ἔκδημον a*, quod iterum in *ἔκδηλον* corr. *a*², *ἔκδηλον BCL* 33 *ὀνομάσουσιν* Jortin, *ὠνόμαζον* Meineke 34 *κεκροπίδα B* | *λίποι* (*ι* et *ποι* scr. vel rescr. *l*, inter *ι* et *ποι* ras.) *L*, *λίπε P* | *χθόνα*] aut hic ut proposuit Sybel aut 36 ut coniecit Kayser *πόλιν* scribendum videtur, cfr. Med. 682 35 *παλαντιδῶν C* 36 *τήνδε ELP*, *τῇδε A*, *τῇδε* mut. in *τήνδε a*, *τῇδε* mut. in *τήνδε B γρ. τῇ* super *τήν* scr. *b* 37 *ἐνιαυσίαν ELP*, *ἐνιαύσιον AaB* 38 *καὶ πεπληγμένη* Christ. pat. 355. 749 40 *σύνοιδε δ' AEaBC*, *ξύνοιδεν LP*, *ξύνοιδε δ' l* | *οὔτις AEaBlP*, *οὐδεὶς CL* 41 *ταύτῃ ECLP*, *ταύτης AaB* (*γρ. ταύτῃ* superscr. *b*) | *τὸν* mut. in *τόνδ' a* | *χρὴ LP*, *δεῖ AEaBC* 42 *δείξω δὲ Θησέως παιδί*] Wilamowitz, *δείξω δὲ θησεῖ πρᾶγμα* libri (*θησεῖ δὲ δείξω πρᾶγμα B*) | *καὶ φανήσεται C* 43 *πολέμιον ἡμῖν νεανίαν B* | *νεανίαν*] *πεφυκότα LP* (quod praefert Valckenaer)